ρει τὸ τοῦ Ἀριστοφάνους παράδειγμα τὸ ἐν Ὄρνισι,

Σποδεῖν ἅπαντας τοὺς ἀλαζόνας δοκεῖ. σποδεῖν, κινεῖν, βινεῖν, συνουσιάζειν. σποδοῦνται τοίνυν, βινοῦνται.

Σχόλια. Κατὰ τύχην.] ἤγουν κατὰ συνουσίαν. Ἡ μὴ 'μπειρία] τὸ πλῆρες, ἡ ἐμὴ ἐμπειρία. Περιδουμένη] περιδεσμευμένη τὴν τριχίνην γενειάδα. γένειον γὰρ ὁ τόπος. Περίδου] περίθες. Περιδήσομαι.] ὅτι οἱ δημαγωγοὶ ἐστέφοντο. Τάλαν.] παρέλκει τὸ τάλαν. Καταγέλαστον] τὸ ἡμᾶς πώγωνας ἔχειν. Σηπίαις] σηπία εἶδος ἰχθύος. ἀπρόσλογος δὲ ἡ εἰκασία. ἐσταθευμέναις δὲ, ἐξ ἐπιπολῆς ὀπτηθείσαις. σταθεύειν γὰρ τὸ μὴ λίαν ὀπτῆσαι. ἢ χλιανθείσαις πυρί. Περιστίαρχος.] ὁ τῶν καθαρσίων προηγούμενος ἐν ταῖς ἐκκλησίαις, περιστίαρχος ἐκαλεῖτο. περίστια γὰρ, τὰ καθάρσια.

BISETVS. Οὗτος ὁ τοῦ ποιητοῦ στίχος οὕτω γραπτέος. ,, Ὁ περιστίαρχος περιφέρειν χρὴ τὴν γαλῆν. τοῦτο δὲ ἀττικῶς, ἀντὶ τοῦ, ὦ περιστίαρχε, ὥσπερ καὶ ἐν τῇ Ἐκκλησ. A ὁ παῖς, ἀντὶ τοῦ ὦ παῖ. περιστίαρχος δὲ κατὰ τὸν Σουίδαν λέγεται ὁ περικαθαίρων τὴν ἑστίαν, καὶ τὴν ἐκκλησίαν, καὶ τὴν πόλιν. ἀπὸ τοῦ ἑστίας, ἢ τοῦ περιστείχειν. Ἀρποκρατίων δὲ ἐν τῷ καθάρσιον, τοῦτον τὸν τῆς παλαιᾶς καθάρσεως τρόπον ἡμῖν οὕτω δηλοῖ, Ἔθος ἦν Ἀθήνησι καθαίρειν τὴν ἐκκλησίαν, καὶ τὰ θέατρα, καὶ ὅλας τὰς τοῦ δήμου συνόδους, μικροῖς πάνυ χοιριδίοις, ἅπερ ὠνόμαζον καθάρσια. τοῦτο δὲ ἐποίουν οἱ λεγόμενοι περιστίαρχοι, οἵπερ ὠνομάσθησαν B οὕτως, ἢ ἀπὸ τοῦ περιστείχειν, ἢ ἀπὸ τῆς ἑστίας. τὸ δὲ γαλῆν περιφέρειν, ἴσως παρὰ προσδοκίαν, καὶ γέλωτος χάριν εἴρηται, δέον εἰπεῖν, τὸ χοιρίδιον. ἀλλὰ πρὸς καινὸν πρᾶγμα καινῷ καθαρσίῳ χρῆσθαι ἔδει. καινὸν γὰρ τὸ τὰς γυναῖκας ἐκκλησιάζειν, καὶ τὰ τῆς πόλεως πράγματα κυβερνᾶν ἐθέλειν, τοὺς ἄνδρας ἀπὸ τῆς ἀρχῆς ἀπωθούσας.

Σχόλια. Ἀρίφραδες] ὡς ἀναμεμιγμένου αὐταῖς. λοιδορεῖται δὲ πρὸς γυναῖκας αἰσχρὸς ὢν κιθαρῳδός.

C Γυ. Ἐγώ. Πρ. περίθου δὴ τὸν στέφανον τύχ' ἀγαθῇ.
Γυ. Ἰδού. Πρ. λέγοις ἄν. Γυ. εἶτα πρὶν πιεῖν λέγω;
Πρ. Ἰδοὺ πιεῖν. Γυ. τί γὰρ ὦ μέλ' ἐστεφανωσάμην.
Πρ. Ἄπιθ' ἐκποδὼν τοιαῦτ' ἂν ἡμᾶς εἰργάσω
Ἐκεῖ. Γυ. τί δ' οὐ πίνουσι κἀν τῇ 'κκλησίᾳ.
D Πρ. Ἰδού γε σοὶ πίνουσι. Γυ. νὴ τὴν Ἄρτεμιν.
Καὶ ταῦτά γ' εὔζωρον. τὰ γοῦν βουλεύματα
Αὐτῶν ὅσ' ἂν πράξωσιν ἐνθυμουμένοις
Ὥσπερ μεθυόντων ἐστὶ παραπεπληγμένα.
Καὶ νὴ Δία σπένδουσί γ'. ἢ τίνος χάριν
Τοσαῦτά γ' εὔχοντ' εἴπερ οἶνος μὴ παρῆν.
Καὶ λοιδοροῦνταί γ' ὥσπερ ἐκπεπωκότες.
Καὶ τὸν παροινοῦντ' ἐκφέρουσ' οἱ τοξόται.
Πρ. Σὺ μὲν βάδιζε. καὶ κάθησ'. οὐδὲν γὰρ εἶ.
Γυ. Νὴ τὸν Δί' ἦ μοι μὴ γενειᾶν κρεῖττον ἦν.
E Δίψει γὰρ ὡς ἔοικεν ἀφαυανθήσομαι.
Πρ. Ἔσθ' ἥτις ἑτέρα βούλεται λέγειν; Γυ. ἐγώ.
Πρ. Ἴθι δὴ στεφανοῦ, καὶ γὰρ τὸ χρῆμ' ἐργάζεται.
Ἄγε νῦν ὅπως ἀνδριστὶ καὶ καλῶς ἐρεῖς,
Διερεισμένη τὸ σχῆμα τῇ βακτηρίᾳ.
Γυ. Ἐβουλόμην μὲν ἕτερον ἂν τῶν ἠθάδων,
Λέγειν τὰ βέλτισθ' ἵν' ἐκαθήμην ἥσυχος.
F Νῦν δ' οὐκ ἐάσω, κατά γε τὴν ἐμὴν μίαν,
Ἐν τοῖσι καπηλείοισι λάκκους ἐμποιεῖν
Ὕδατος. ἐμοὶ μὲν οὐ δοκεῖ μὰ τὼ θεώ.
Πρ. Μὰ τὼ θεὼ τάλαινα ποῦ τὸν νοῦν ἔχεις;
Γυ. Τί δ' ἔστιν; οὐ γὰρ δὴ πιεῖν ᾔτησά σε.
Πρ. Μὰ Δί' ἀλλ' ἀνὴρ ὢν τὼ θεὼ κατώμοσας.
Καίτοι τά γ' ἄλλ' εἰποῦσα δεξιώτατα.

MVL. *Ego.* PRA. *Circumpone coronam Fortuna bona.*
MVL. *Ecce.* PRA. *Dicas?* MVL. *postea antè bibere dicam?*
PRA. *Ecce bibe.* MVL. *quid enim misera coronata sum?*
PRA. *Abi longè, talia nobis fecisti*
Illic. MVL. *Quid autem, non bibunt & in ecclesia?*
PRA. *Ecce tibi bibunt.* MVL. *per Dianam*
Et hæc merum. Hæc igitur consilia
Ipsorum quæcunque faciunt reminiscentibus,
Tanquam ebriorum sunt stupefactiua.
Et per Iouem sacrificant, an alicuius gratia
Tot supplicant, siquidem vinum non adesset.
Et cauillantur valde bibentes,
Et ebrium efferunt sagittarij.
PRA. *Tu quidem vade, & desede, nil enim es.*
MVL. *Per Iouem, certè mihi non barbam facere melius fuisset,*
Siti, vt videtur, siccabor.
PRA. *Est, quæ altera velit dicere?* MVL. *ego.*
PRA. *Age, iam coronare, etenim res operatur.*
Age nunc, vt viriliter & bene dicas,
Confirmata habitum baculo.
MVL. *Volebam quidem alteram consuetarum*
Dicere optima, vt sederem tacita.
Nunc autem non sinam, secundum meam vna
In cauponis lacus facere
Aquæ, mihi quidem non videtur per Deos.
PRA. *Per Deos misera, vbi mentem habes?*
MVL. *Quid autẽ est? non enim bibere petij te.*
PRA. *Per Iouẽ, sed vir existẽs per Deos iurasti,*
Tamen alia dicens aptissima.

Σχόλια. Μεθυόντων ἐστί.] διαβάλλει τοὺς Ἀθηναίους, ὡς ἀεὶ κακὰ βουλευομένους. Ἀφαυανθήσομαι] ξηρανθήσομαι. ὡς καὶ ἀλλαχοῦ. τοὺς ἀλλοτρίους ἀμῶν στάχυς, τούτους ἐν ξύλῳ δήσας, ἀφαυεῖ. Ἐργάζεται.] ἀνύεται ὅπερ λοιπὸν οὐκ ἂν γένοιτο. Διερεισμένη.] διαταξαμένη ἀσφαλισαμένη. Τῶν ἠθάδων.] τῶν ἔθος ἐχόντων λέγειν. Ἐμὴν μίαν.] λείπει γνώμην. Λάκκους G ἐμποιεῖν.] Ἀθηναῖοι καὶ οἱ ἄλλοι τῶν Ἑλλήνων ὀρύγματα ὑπὸ τὴν γῆν ποιοῦντες εὐρύχωρα καὶ στρογγύλα καὶ τετράγωνα, καὶ ταῦτα κονιῶντες οἶνον ὑπεδέχοντο καὶ ἔλαιον εἰς αὐτά. καὶ ταῦτα λάκκους ἐκάλουν. Μὰ τὼ θεώ.] ἐπειδὴ γυναικῶν ὁ ὅρκος. παίζει. οὐ γὰρ δεῖ σε φησιν ὑποκειμένην ἄνδρα γυναικεῖον ὅρκον ὀμνύναι τοῖς θεοῖς.